δύνασθαι τὴν προσιοῦσαν ὕλην μέγεθος προσθεῖναι. Τέταρτον ὅτι ἡ τροφὴ καὶ τὸ τρεφόμενον, οὐσία εἰσί, καὶ εἶδος, ὥστε τρέφεσθαι τὸ τρεφόμενον ἐξ οὐσίας, οὕτω καὶ τὸ αὖξον, καὶ τὸ αὐξανόμενον ποσόν ἐστι καὶ ὕλη, καὶ γίγνεται ἀεὶ τὸ ποσὸν ἐκ ποσοῦ καὶ ὕλης, καὶ σώματος οὐκ ἐξ ἀσωμάτου καὶ ἀμεγέθους, ὥσπερ δὲ τὸ τρεφόμενον οἷον σάρξ, ἐξ οὐσίας τρέφεται δυνάμει σαρκὸς, ἀλλὰ μὴ ἐνεργείᾳ, οὕτω καὶ τὸ αὐξανόμενον ἐκ ποσοῦ αὔξεται δυνάμει ποσῆς σαρκὸς, μείωσις δὲ καὶ φθίσις γίγνεται, ἐὰν μηκέτι μεῖζον ποιεῖν δύνηται τὸ προσιὸν οὐ μεταβάλλον εἰς τὴν τοῦ αὐξομένου οὐσίαν, τότε γοῦν φθίσις γίγνεται ὁπηνίκα τῆς ἀλλοιωτικῆς καὶ ἐξομοιωτικῆς δυνάμεως ἀσθενεστέρας γιγνομένης τὸ προστεθὲν οὐ γίγνεται ὅμοιον, καὶ ὥσπερ ὕδωρ οἴνῳ ἀεὶ πλεῖον γιγνόμενον τέλος ὑδαρῆ ποιεῖ καὶ ὕδωρ, μηκέτι μεταβαλλόμενον εἰς τὴν τοῦ οἴνου οὐσίαν, τῆς ἐν αὐτῷ δυνάμεως ἀσθενούσης τῇ ἐπικρατείᾳ τοῦ ὕδατος, καὶ μὴ ἀλλοιοῦν, οὐδὲ ἐξομοιοῦν δυναμένης, οὕτως ἐλαττουμένης τῆς θρεπτικῆς δυνάμεως καὶ τῆς ἀπορρεούσης ὕλης ἧττον προσκειμένης διὰ τὴν ἀσθένειαν τοῦ ἐμφύτου θερμοῦ, εἴτε ὑπὸ νόσου, εἴτε ὑπὸ γήρως φθίσις γίγνεται, καίτοι τὸ εἶδος ἔτι μένει, σώζεται γὰρ αὐτὸ τῇ προσκείσει τοῦ ἥττονος εἴτε δὴ μένειν οἷόν τε ὂν ἐν ἐλάττονι μεγέθει, φθίνει ὅμως, ἀλλ' οὐκ αὔξεται, ἡ γὰρ αὔξησις γίνεται πλείονος ὄντος τοῦ προστιθεμένου, ἢ τοῦ ὑπεκρεῦντος, ἡ δὲ φθίσις μείονος προσιόντος, ἀπιόντος δὲ πλείονος.

## Ἀπορίαι.

Τίνος ἕνεκεν ἐν μὲν τῷ ὀγδόῳ τῆς Φυσικῆς μορίῳ ν ε. ἀδύνατόν φησιν ἀλλοίωσιν ὑπάρχειν ἄνευ φορᾶς, ἐνταῦθα δὲ οὐκ ἐξ ἀνάγκης φέρεσθαι τὸ ἀλλοιούμενον; ἢ ὅτι οὐκ ἐνδέχεται ἀλλοίωσιν γενέσθαι ἄνευ φορᾶς, ἢ τοῦ ἀλλοιουμένου, ἢ τοῦ ἀλλοιοῦντος. ἐπεὶ τοιγαροῦν τὸ ἀλλοιοῦν οὐκ ἐγγύς ἐστι τοῦ ἀλλοιουμένου, ἀνάγκη θάτερον τούτων κινηθῆναι, καὶ ἐγγύτερον γενέσθαι. ἐνταῦθα δὲ οὐκ ἀναγκαῖον φασιν αὐτὸ τὸ ἀλλοιούμενον, ἀεὶ κινεῖσθαι, ὥσπερ τὸ αὐξανόμενον, τοῦτο γὰρ κατὰ τόπον ἐξ ἀνάγκης μεταβάλλει. ἢ ὅτι προηγεῖται μὲν ἀλλοιώσεως φορὰ, οὐ μὴν φορά ἐστιν ἡ ἀλλοίωσις καθ' ἑαυτὴν θεωρουμένη, ἡ δὲ αὔξησις μεταβολή τις ἐστὶ κατὰ τόπον. Δεύτερον οὐ καλῶς ὁ Φιλόσοφος κεχρῆσθαι δοκεῖ τῷ τοῦ ἀγγείου παραδείγματι. τὸ γὰρ αὐξανόμενον μείζω ποσότητα προσεπιλαμβάνει, αὐτὸ δὲ τὸ ἀγγεῖον οὐδαμῶς, ἀλλὰ σώζει τὸ αὐτοῦ μέγεθος. ἢ ὅτι ὅμοιόν ἐστι τῷ αὐξανομένῳ τὸ ἀγγεῖον, ὅτι ὥσπερ τοῦτο μένει τὸ αὐτὸ ἐν τῇ τοῦ ὕδατος ἀπορροῇ τε καὶ εἰσροῇ, οὕτω καὶ τὸ τοῦ αὐξο-



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

αὐξομένου εἶδος σώζεται τὸ αὐτὸ τῆς μὲν ἀπιούσης ὕλης, τῆς δὲ προσιούσης, τὰ δὲ παραδέγματα οὐκ ἐν πᾶσιν ὀφείλει καθομοιοῦσθαι. Τέλειον ἔτι δὲ ἀπορεῖσθαι τίνος ἕνεκεν ἐκ μὴ ζώου γίγνεται ζῷον, οὐ μὴν δὲ ἐκ μὴ ποσοῦ ποσόν; ἢ ὅτι ἐνδέχεται τὴν ὕλην δίχα ψυχῆς εἶναι καὶ σώζεσθαι, δίχα δὲ ποσοῦ οὐκ ἐνδέχεται ὑπάρχειν, ἀεὶ γὰρ ἐν ὄγκῳ ἐστὶν ἡ ὕλη.

## Τῶν περὶ αὐξήσεως ζητημάτων προθεωρία.

ΤΕλειότητος ἀεὶ ἡ φύσις ἐφίεται καὶ μηδέποτε τῶν αὐτῆς ἔργων ἀτελὲς καταλιμπάνειν μὴ κωλυθεῖσα, διά τοι τοῦτο καὶ τοῖς γιγνομένοις πράγμασι τήν τε ἄλλην τελειότητα, καὶ τὸ προσῆκον αὐτοῖς μέγεθος, ἢ τούτων ποριστικὴν χαρίζεται δύναμιν, ὅθεν ἐν τῇ τῶν ζώντων γενέσει, ἐπείπερ οὐχ οἷά τε ἐστὶν ἐξ ἀρχῆς ἐπὶ τὴν ἀποχρῶσαν αὔξειν αὐτὰ ποσότητα, ἰσχὺν τοιαύτην τούτοις κατέβαλεν. ὥστε κατὰ σμικρὸν διὰ τῆς τῶν προσιόντων μεταβολῆς, καὶ ἐξομοιώσεως εἰς μέγεθος ἐπιδιδόναι, Θαυμάσιος μὲν οὖν ἐστιν ὁ τῆς αὐξήσεως τρόπος, ἐν πᾶσι μὲν τοῖς γιγνομένοις, ἐν αὐτοῖς δὲ τοῖς ἐμψύχοις ὅτι μάλιστα εἰς ἔκπληξιν ἄγων τοὺς ὁρῶντας. διὸ δὴ καὶ οἱ περὶ αὐξήσεως τοὺς λόγους ποιούμενοι ἀεὶ πρὸς τὴν τῶν ζώντων κατὰ τὸ ποσὸν μεταβολὴν ἀφορῶσιν, ἢ ὅτι ἐν τούτοις δύσληπτος ὢν ὁ τῆς αὐξήσεως τρόπος μείζονα ζητεῖ τὴν τῶν θεωρουμένων ἔρευναν, ἢ ὅτι τῆς τῶν ζώντων αὐξήσεως τελεωτέρας οὔσης ὁ ταύτην ἀκριβῶς ἐπιστάμενος ῥᾳδίως ἔχει συνιέναι καὶ ἐν τοῖς λοιποῖς τῶν ὄντων τὴν τοιαύτην μεταβολήν. μήτις οὖν θαυμάσῃ, εἰ καὶ ἡμεῖς τὸν αὐτὸν τοῖς ἄλλοις τρόπον περὶ αὐξήσεως πραγματευόμεθα περὶ τῆς τῶν ζώντων αὐξήσεως τοὺς λόγους μάλιστα ποιούμενοι, καί τοι τῶν ζητημάτων ἔνια ὅσα καὶ τὴν αὐξητικὴν δύναμιν τρανώτερον ἐκφαίνει, οἷον τίνος ἰδία ψυχῆς, καὶ πῶς διακείνεται τοῦ ὑποκειμένου αὐτῆς, εἰς τὴν τῆς ψυχῆς ἀναβαλῶμεν πραγματείαν, νῦν δὲ αὐτὴν τὴν αὔξησιν θεωρήσωμεν τί τε ἐστί, καὶ πῶς γίγνεται καὶ τίσι τῶν λοιπῶν διαφέρει μεταβολῶν, ὡς ἕνι διὰ βραχέων εἴπωμεν.

## Περὶ διαφόρων τῆς αὐξήσεως σημαινομένων.

Ἡ Τῶν σημαινομένων ἀνάπτυξις οὐ μόνον ἐστὶ λυσιτελής, ἀλλὰ καὶ ἀναγκαία, καὶ γὰρ ἡ τοῦ ὀνόματος γνῶσις εἰσαγωγή ἐστιν εἰς τὴν τῶν πραγμάτων κατάληψιν. ἐπεὶ τοιγαροῦν ἡ αὔξησις κίνησίς ἐστι κατὰ τὸ ποσόν. τὸ δὲ ποσὸν ἢ κυρίως ἐστίν, ἢ κατὰ συμβεβηκὸς οἷον φαμὲν

καὶ

ΙΩΑΝΝΙΝΑ 2006




ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Π. τηβΚ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

καὶ ποιότητα ποσὴν δὲ, ἢ ποσὴν δὲ κατὰ τὸ μᾶλλον καὶ ἧττον αὐτῆς, ὅσα ποσά ἐστι κατὰ συμβεβηκὸς καὶ αὐξάνεσθαι κατὰ συμβεβηκὸς λέγοιτ' ἄν, τὸ δὲ κυρίως ποσὸν, καὶ τοῦτο διττὸν, ἢ ὡς τὸ διωρισμένον, ἢ ὡς τὸ συνεχὲς, λέγεται τοίνυν αὔξεσθαι τὰ πράγματα, καὶ κατὰ τὸ διωρισμένον ποσὸν, ηὐξήθη γὰρ φαμὲν ὁ τῶν πονηρῶν ἀριθμὸς, ἰδιαίτερον ὅμως κατὰ τὸ συνεχὲς αὔξεται τὰ πράγματα, ἔτι δὲ ὅσα κατὰ τὸ μέγεθος αὔξεται, ἤτινος προσιόντος πάσχει τὴν τοιαύτην μεταβολὴν, ἢ μηδενὸς, ἀλλὰ τὸ αὐτὸ ἢ φθειρόμενον μεταβάλλει κατὰ μέγεθος, καθάπερ ὅταν ἐξ ἀέρος γίγνεται ὕδωρ, ἢ ὅταν ἐξ ὕδατος ἀήρ. ἐκ γὰρ κοτύλης ὕδατος ὅλως ἀὴρ γενόμενος μείζω δοκεῖ προσειληφέναι ποσότητα. ἐλάττων δὲ ὅταν ἐξ ὅλου τινὸς ἀέρος ὕδωρ γίγνηται, ἢ σώζον τὸ αὐτὸ εἶδος, ὡς ὅταν πυκνότερος, ἢ μανώτερος ὁ ἀὴρ γίνηται, προσιόντος δέ τινος ἔξωθεν αὐξάνεσθαι λέγεται τὰ πράγματα πάλιν πολλαχῶς, ἢ ἀνομοίου τινὸς προσελθόντος ἢ ὁμοίου, καὶ ὁμοίου μὲν ὡς ὅταν ὑετοῖς αὔξηται ποταμὸς, ἀνομοίου δὲ πάλιν διχῶς, ἢ γὰρ μεταβάλλει τοῦτο εἰς τὸ ὅμοιον, ἢ οὐ μεταβάλλει, καὶ μὴ μεταβάλλοντος μὲν πολλάκις γίγνεται ἐκ τοῦ προστεθέντος, καὶ τοῦ ᾧ προσετέθη ἓν ἀληθῶς, καθάπερ ἐκ τοῦ γνώμονος καὶ τοῦ τετραγώνου τὸ αὐξηθὲν ἓν εἶναι λέγομεν, ἢ οὐ γίγνεται ἓν, καθάπερ ὅταν σῖτος αὐξάνεσθαι λέγηται ἄλλου τινὸς ὀσπρίου προστεθέντος, μεταβάλλοντος δὲ, ἢ ἀληθής ἐστιν ἡ μεταβολὴ, καὶ κατ' οὐσίαν, ἢ οὐδαμῶς, ὥσπερ τὸ ὕδωρ λέγεται μεταβαλεῖν εἰς οἶνον. εἰ δὲ ἀληθὴς σωζομένων μὲν πάντων τῶν τῆς τελείας αὐξήσεως τρόπων ἡ κυρίως ἐστὶν αὔξησις, ἐλλείποντος δέ τινος αὔξησις μὲν λέγεται, ἀλλ' οὐ κυρίως, οὐδὲ τελεία ἐξ ὧν ἐστι φανερὸν, ὅτι ἡ αὔξησις ὁμώνυμός ἐστι φωνὴ λεγομένη κατὰ πολλῶν πραγμάτων, τὴν σημαινομένην ὑπὸ τοῦ ὀνόματος φύσιν ἐχόντων διάφορον, κἀπειδὴ ἐν τοῖς ἀφ' ἑνὸς ἀεὶ περὶ τοῦ πρώτου τοὺς λόγους ποιοῦμεν μάλιστα ἀφ' οὗ τἄλλα λέγεται, ὀρθῶς ἂν καὶ περὶ τῆς τῶν ζώντων αὐξήσεως ἐνταῦθα πραγματευόμεθα, αὕτη γὰρ οἷον κανών ἐστι τῶν λοιπῶν, ὧν ὅσαι τῇ εἰρημένῃ αὐξήσει μᾶλλον ἐξομοιοῦνται, μᾶλλον εἰκότως τῆς τοιαύτης προσηγορίας ἔοικεν ἀπολαύειν. ἔνθεν τοι καὶ Ἀριστοτέλης ἐν τῷ προτεθέντι κεφαλαίῳ, μάλιστα δοκεῖ περὶ τῆς τῶν ζώντων αὐξήσεως προτείνειν τὸν λόγον. τροφῆς τε γὰρ ἅπτεται, καὶ τίνι τρόπῳ διενήνοχε τῆς θρεπτικῆς δυνάμεως ἡ αὔξησις παραδίδωσιν. ἰστέον δὲ ὅτι ὁ Φιλόσοφος ἐν τρισὶ τόποις περὶ αὐξήσεως ποιεῖται τοὺς λόγους, ἐν τῷ τρίτῳ καὶ πέμπτῳ τῆς Φυσικῆς Ἀκροάσεως, ἐν τῷ πρώτῳ περὶ γενέσεως καὶ φθορᾶς, καὶ ἐν τῷ δευτέρῳ τῶν περὶ ψυχῆς. καὶ ἐν μὲν τῷ περὶ Φυσικῆς Ἀκροάσεως γενικώτερον ἡ αὔξησις ἐκτίθεται, ἰδιαίτερον δὲ ἐν τῷ περὶ γενέσεως καὶ φθορᾶς, ἐν δὲ τῷ περὶ ψυχῆς ἰδιαίτατα, καὶ ἐν μὲν



Ε.Υ.Δ ΙΩΑΝΝΙΝΑ 2006

τοῖς περὶ Φυσικῶν ἡ μία τῶν τεσσάρων μεταβολῶν θεωρεῖται, αὐτόθι γὰρ ὁ Φιλόσοφος κοινῇ τε περὶ κινήσεως, καὶ ἰδίᾳ περὶ τῶν ταύτης εἰδῶν τὴν σκέψιν προβάλλεται, ἐν δὲ τῷ πρώτῳ περὶ γενέσεως καὶ φθορᾶς ἡ πάθος ἐστὶ πρῶτον μὲν τοῖς ἁπλοῖς σώμασι, μετὰ δὲ τούτων καὶ τοῖς λοιποῖς προσῆκον. ἐν δὲ τῷ περὶ ψυχῆς, ἡ ψυχικῆς δυνάμεως πρόεισιν. ἡμεῖς δὲ ἀπὸ τῶν ἁπανταχοῦ ῥηθέντων τῷ Φιλοσόφῳ εἰς ἓν συναγαγόντες τὴν διδασκαλίαν ὁλόκληρον ἐν συνόψει περὶ αὐξήσεως πραγματείαν ἐκδιδόναι προτιθέμεθα.

## ΖΗΤΗΜΑ ΠΡΩΤΟΝ.

### Περὶ τῶν τῆς αὐξήσεως ὅρων.

ΕΠειδὴ λέγεται κίνησις εἰς τὸ ποσὸν ἡ αὔξησις εἰκότως ἀμφιβάλλεται πότερον ἐνδέχεται κίνησιν εἶναι εἰς τὸ ποσόν, ἔνθα γὰρ οὐκ ἔστιν ἐναντίωσις οὔτε κίνησις κατὰ τὸν Φιλόσοφον πέμπτῳ Φυσικῶν μορίῳ, ἐν ᾧ δὴ μὴ εἶναι κίνησιν κατ' οὐσίαν δείκνυται διὰ τὸ μηθὲν εἶναι τῶν ὄντων οὐσίᾳ ἐναντίον, ἐν δὲ τῷ ποσῷ οὐκ ἔστιν ἐναντίωσις ὡς ἐν τῇ τούτου κατηγορίᾳ δηλοῦται, οὐδὲ κίνησις ἄρα, ἔτι δὲ ἐν τοῖς πρός τι οὐκ ἔστι κίνησις ὡς ἐν τῷ αὐτῷ μορίῳ λέγεται. ἐνδέχεται γὰρ θατέρου μεταβάλλοντος ἀληθεύεσθαι θάτερον μηδὲν μεταβάλλειν. ἀλλὰ μὴν ἡ αὔξησις ἐστὶ μεταξὺ μεγάλου καὶ σμικροῦ ἅ τινα σαφῶς εἰσι τῶν πρός τι, οὐκ ἔστιν ἄρα κίνησις ἡ αὔξησις, πρόσθες ὅτι πᾶσα κίνησις ἐξ ἀνάγκης ἐστὶ συνεχής, ὡς ἐν τῷ ἕκτῳ δέδεικται τῶν Φυσικῶν, ἀλλὰ μὴν ἡ αὔξησις οὐκ ἔστι συνεχής. ἡ γὰρ αὔξησις γένεσίς τίς ἐστι, καὶ φθορά. αὗται δὲ αἱ μεταβολαὶ οὐ κατὰ συνέχειαν γίνονται ἅτε δὴ μὴ δεκτικαὶ τοῦ μᾶλλον καὶ ἧττον, οὐδὲ κίνησις ἄρα ἡ αὔξησις. τούτων οὕτως εἰκότως ἠπορημένων δεῖ πρῶτον ἡμᾶς τὸ τῆς αὐξήσεως γένος θηρεύσασθαι, ὅπως αὖ οἷον κρηπῖδα τοῦ ὁρισμοῦ ταύτης ὀρθῶς καταβάλωμεν, δῆλον δὲ τὸ τῆς αὐξήσεως ἔσται γένος τοῖς ἐπιστήσασι τοὺς ὅρους, ὧν ἐστι μεταξὺ ἡ αὔξησις. καὶ γὰρ πλείους περὶ τὴν τούτου θέσιν εὕροι τις αὖ ἐν τῷ περιπάτῳ δόξας. τινὲς μὲν οὖν τῶν νεωτέρων ὅρους αὐξήσεως τιθέασι τὸ κατ' οὐσίαν εἶδος τῶν μερῶν, ἃ διὰ τῆς αὐξήσεως προσγίνεται τῷ αὐξανομένῳ. τοῦτο δὲ προφανῶς ἐστιν ἄτοπον. ὥσπερ γὰρ τὴν κίνησιν φαμὲν εἰς τὴν τοῦ πρὸς ὃν ὅρου ἀνάγεσθαι κατηγορίαν, οὕτω τοὺς ὅρους δέον ἐστὶ τάττεσθαι ἐν ᾗ κατηγορίᾳ ἡ κίνησις εἶναι κοινῶς ὁμολογεῖται, ἀλ-

λαμὴν

ΕΡΓΑΣΤΗΡΙΟ ΙΩΑΝΝΙΝΩΝ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Π.Ε.Α.Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

λαμβάνει ἐν τῷ ποσῷ ἡ αὔξησις, καὶ τοὺς ὅρους ἄρα ταύτης ὑπὸ τὴν τοῦ ποσοῦ κατηγορίαν ὑπάγεσθαι χρεών. σοφώτερον οὖν ἄλλοι τινὲς ὅρον αὐξήσεως οἴονται τὴν διάστασιν τὴν τῷ αὐξανομένῳ προσιοῦσαν, ἤτοι τὸ μεῖζον μέγεθος τῇ τῆς ὕλης προσθήκῃ γενόμενον, ᾧ τινι παρακολουθεῖ καὶ ἡ τοῦ πλείονος τόπου ἐπίκτησις. καὶ ταῦτα μὲν οὐ πάντως εἰσὶν ἔκφυλα τοῦ πράγματος, καί τοι μὴ τοὺς τῆς αὐξήσεως ὅρους ἀκριβῶς ἐκφαίνωσιν. οἴδαμεν γὰρ ὅτι οὐκ ἐνδέχεται τοὺς τῆς κινήσεως ὅρους ἅμα μένειν, ὀφείλει γὰρ ἐναντίους εἶναι, τὸ δὲ μεῖζον μέγεθος, καὶ ἡ προστεθεῖσα διάστασις οὐκ ἀναιρεῖ τὴν πρὸ αὐτῆς ἐν τῷ αὐξομένῳ ὑπάρχουσαν, ἀλλ᾽ οὐδὲ ἐναντία εἰσὶ κατὰ τὸν Φιλόσοφον τὸ μέγα καὶ μικρόν, οἱ δὲ τῆς αὐξήσεως ὅροι ἐξ ἀνάγκης ἀλλήλοις ἀντίκεινται. Ταύτας δὲ τὰς δόξας ἕτεροι συνάπτοντες ὅρον αὐξήσεως τιθέασι τὸ εἰδοποιημένον μέγεθος, συμφωνεῖν αὐτοῖς οἰόμενοι τὸν Φιλόσοφον, τὸ μὲν σῶμα λέγοντα κατὰ τὸ εἶδος αὔξεσθαι. αὔξειν δὲ τὴν τροφὴν ἢ δυνάμει ποσὴ σάρξ, τοῦτο δὲ καὶ τοῖς ῥηθεῖσιν ἀτόποις ἐξελέγχεται, καὶ προσέτι ὅτι ἁπλῆ κίνησις ἡ αὔξησις ὑπὸ τοῦ Φιλοσόφου λέγεται. πῶς δ᾽ αὖ ἁπλῆ εἴη σύνθετον ἔχουσα τὸν πρὸς ὃν ὅρον ἐξ οὐσίας καὶ ποσοῦ; ἀλλ᾽ οὔτε εὑρεῖν ἐνδέχεται τὴν ὀφειλομένην ταῖς κινήσεσιν ἐναντίωσιν. τῇ γὰρ οὐσίᾳ οὐδὲν ἐναντίον, οὐ μήν, ἀλλ᾽ οὐδὲ συνηγορεῖ τούτοις τὰ τοῦ Φιλοσόφου, οὐ γὰρ διὰ τῶν ῥημάτων ἐκείνων τοὺς τῆς αὐξήσεως ὅρους ἐκτίθησιν, ἀλλὰ δηλοῖ τὰ τῆς αὐξήσεως ἐξ ἀνάγκης συνεπόμενα. ἄλλοι τινὲς οὖν πρὸς ὃν ὅρον αὐξήσεως τιθέασι τὸν ὄγκον ἢ παρομαρτεῖ τῇ τῆς ὕλης μεταβολῇ εἰς τὴν αὐξανομένου οὐσίαν. φασὶ γὰρ πρῶτον τὴν τροφὴν μεταβάλλειν εἰς τὴν τοῦ ζῶντος οὐσίαν, ἔπειτα ὀγκοῦσθαι τὸ σῶμα διὰ τῆς ἐμφύτου θερμότητος, καὶ εἰς τουτονὶ τὸν ὄγκον καταντᾷν τὴν τῆς αὐξήσεως κίνησιν, εἴρηται γὰρ καὶ τῷ Φιλοσόφῳ ὀγδόῳ Φυσικῶν, μορίῳ λβ΄. ὅτι καὶ τὸ ποσὸν ἐκτείνεται ἐὰν μή τι κωλύῃ, διακρίνουσιν οἱ τοιοῦτοι τὴν τῶν ἀψύχων αὔξησιν ἀπὸ τῆς τῶν ζώντων, ὅτι καὶ ἡ ἐν τοῖς ζῶσι διάστασις εἴδει διαφέρει τῆς τῶν ἀψύχων. ἀλλ᾽ οὗτοι μὲν τροφῆς μᾶλλον αὔξησιν, ἢ τοῦ αὐξάνοντος ἐκτίθενται. Ἔτι δὲ σύνθετον δοκοῦσι ποιεῖν τὸν τῆς αὐξήσεως ὅρον, εἰ γὰρ ἐστὶ τὸ ποσὸν ἢ συνῆπται τῇ μεταβαλλούσῃ ὕλῃ φανερὸν ὅτι ὅρος ἐστὶ τῆς αὐξήσεως τό, τε ποσὸν καὶ ἡ μεταβάλλουσα ὕλη. Ἔτι δὲ δοκοῦσι συγχέαι τῇ αὐξήσει τὴν ἀραίωσιν, τὴν γὰρ τῆς τροφῆς μάνωσιν ἔκτασίν φασι. Ταῦτα μὲν οὖν οἱ νεώτεροι κυκῶσι διὰ τὴν τῆς καινοτομίας λύσσαν, ὑφ᾽ ἧς οὐκ ἀγαπῶσι τοῖς ἐξ ἀρχῆς καλῶς ὑπὸ τῶν γνησίων ἑρμηνευτῶν τοῦ Φιλοσόφου λεγομένοις. οὗτοι γὰρ ψήφῳ κοινῇ ὅρους αὐξήσεως τιθέασιν τὸ ἀτελὲς καὶ τέλειον μέγεθος, οἷς ὅροις πολλαχοῦ ὁ Φιλόσοφος κέχρηται. Τρίτῳ μὲν Φυσικῶν τεμμαχίῳ πέμπτῳ

Ε.Υ.Δ της Κ.Π ΙΩΑΝΝΙΝΑ 2006

καὶ κατὰ τὸ ποσόν φησι τὸ μὲν τέλειον, τὸ δὲ, ἀτελές. Πέμπτῳ δὲ Φυσικῶν μορίῳ, ιή. ἡ δὲ κατὰ τὸ ποσὸν φησι τὸ μὲν κοινὸν ἀνώνυμον, καθ' ἑκάτερον δὲ αὔξησις καὶ φθίσις, ἡ μὲν εἰς τὸ τέλειον μέγεθος αὔξησις, ἡ δὲ ἐκ τούτου φθίσις, καὶ ὀγδόῳ Φυσικῶν τεμμαχίῳ ξβ. αὐξήσει δέ φησι καὶ φθίσει, ἣ μέγεθος καὶ μικρότης, ἣ τελειότης μεγέθους καὶ ἀτέλεια, τὰ αὐτὰ δὲ ταῦτα ἀποφαίνεται ιά. τῆς πρώτης Φιλοσοφίας κεφ. ζ'. καὶ ή. καὶ ἐν ἄλλοις· κεῖται δὲ σαφῶς ἡ τοιαύτη δόξα, καὶ παρ' Ἀλεξάνδρῳ πρώτῳ περὶ Φυσικῶν ἀποριῶν, καὶ λύσεων κεφ. ζ'. εἰ τοῖς κινουμένοις πᾶσι φύσιν ἐξ ἐναντίου εἰς ἐναντίον ἡ μεταβολή, τὰ δὲ αὐξανόμενα καὶ μειούμενα κινεῖται, εἴη ἂν καὶ τούτοις ἐξ ἐναντίου εἰς ἐναντία ἡ μεταβολή, γίνεται δὲ αὐτοῖς ἡ μεταβολὴ εἰς μέγεθος καὶ μικρότητα, τῷ μὲν γὰρ αὐξανομένῳ εἰς μέγεθος ἡ ἐπίδοσις, τῷ δὲ μειουμένῳ εἰς μικρότητα ἡ συστολή, ἐναντίον ἄρα τὸ μέγα καὶ τὸ μικρόν. ἀλλ' οὐ δοκεῖ ὡς διὰ πλειόνων Ἀριστοτέλης ἐν κατηγορίαις ἔδειξεν, ἢ οὐχ ἁπλῶς εἰς μέγεθος καὶ μικρότητα ἡ μεταβολὴ τοῖς αὐξομένοις καὶ μειουμένοις, ἀλλὰ τοῖς μὲν αὐξομένοις κατὰ φύσιν (ταῦτα δέ ἐστι τὰ τῆς θρεπτικῆς ψυχῆς κεκοινωνηκότα) εἰς τελειότητα καὶ τέλειον μέγεθος ἡ ἐπίδοσις, τὰ δὲ μειούμενα ἐξίσταται τῆς τελειότητος, καὶ εἰς τὸ ἀτελὲς συστέλλεται, εἰς τέλειον ὂν μέγεθος, καὶ τὸ ἀτελὲς αὐτοῖς ἡ μεταβολὴ γίγνεται, ταῦτα δὲ ἐναντία. Εἰς ἀκριβῆ τοίνυν καὶ οἰκείαν τῶν λεγομένων ἐπίλυσιν. Ἰστέον ὅτι τέλειον μέγεθός ἐστι δι' ὃ τὸ κεκτημένον σῶμα τὰς προσηκούσας τῇ οἰκείᾳ αὐτοῦ φύσει ἐνεργείας ἀκωλύτως ἔχει ποιεῖν, μάλιστα δὲ γεννᾶν ὅμοιον ἑαυτῷ, ὅπερ ἐν τοῖς Φυσικοῖς εἴρηται Φυσικώτατον. ὅθεν ἐν τῷ τετάρτῳ περὶ μετεώρων τέλειον λέγεται ὁ γεννᾶν ὅμοιον ἑαυτῷ οἷόν τέ ἐστι. τοῦτο δὲ κοινότερον πᾶσι δοκεῖ τοῖς ὑπὸ σελήνην ἁρμόζειν, ἰδίως δὲ μάλιστα προσήκει τοῖς ζῶσιν, ἐν οἷς συνιδεῖν ἐστι σαφῶς τήν τε θρεπτικὴν καὶ γεννητικὴν δύναμιν δι' ὀργάνων τελουμένην, ἔτι δὲ τὰ ζῶντα ἑνότητα κυρίως ἔχει τοῖς μέρεσι συμπληρουμένην, οὐ μήν γε τὰ ἄψυχα, ἐν οἷς καὶ τὸ ἐλάχιστον μέρος οἷον ὅλον ἐστι. διὸ δὴ καὶ ἡ αὔξησις καὶ τοῖς ἐμψύχοις προσήκει μάλιστα. τοῖς μὲν γὰρ ἀψύχοις ἡ αὔξησις οἷον γένεσίς ἐστι, καὶ τούτων ὅσα γίγνεται ὁμοῦ παραλαμβάνει τὴν τοῦ μεγέθους τελειότητα. ἐν δὲ τοῖς ζῶσι λαμπρός ἐστιν ὁ τῆς αὐξήσεως τρόπος, ταῦτα γὰρ ἐκ τοῦ ἀτελοῦς εἰς τὸ τέλειον ἐπιδίδωσι. τοιγαροῦν ὀρθῶς τῆς κυρίως αὐξήσεως οὔσης ἐν τοῖς ἐμψύχοις ταύτης ὅρος ἡ τοῦ μεγέθους ὁμολογεῖται τελειότης, ἥτις διάφορός ἐστι καθὸ διενήνοχε τὰ αὐξανόντα. Ἡ γὰρ ἐν τῷ μύρμηκι τελειότης τοῦ μεγέθους καὶ ἀτέλεια διαφέρει τῆς ἐν τῷ λέοντι, ἵππῳ, καὶ τοῖς τοιούτοις, καὶ ἡ τοιαύτη διαφορὰ τοῦ εἴδους ἑκάστου τούτων ἐξήρτηται, πᾶσα



Ε.Χ. της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

γὰρ ψυχὴ ὅρους ἔχει τοῦ οἰκείου μεγέθους καὶ σμικρότητος ὧν οὐκ ἐξίστα-
„ ται. ἐνθένδε τοι εἴρηται τῷ Φιλοσόφῳ δευτέρῳ περὶ ψυχῆς ἐδαφίῳ
„ μά, ὅτι τὸ δὲ συναίτιον πῶς μέν ἐστιν, οὐ μὴν ἁπλῶς γε αἴτιον,
„ ἀλλὰ μᾶλλον ἡ ψυχή, ἡ μὲν γὰρ τοῦ πυρὸς αὔξησις εἰς ἄπειρον ἕως
„ ἂν ᾖ τὸ καυστόν. τῶν δὲ φύσει συνισταμένων πέρας ἐστὶ καὶ λόγος μεγέ-
„ θους, καὶ αὐξήσεως, ταῦτα δὲ ψυχῆς, ἀλλ' οὐ πυρός, καὶ λόγου μᾶλ-
„ λον ἢ ὕλης. ἐξ ὧν φανερόν ἐστιν, ὅτι τὸ τέλειον ἐν μεγέθει τοῖς ἐμ-
ψύχοις προσήκει, ὥστε ἐν τούτοις εἶναι τὴν αὔξησιν, ἧς ὅρος ἐστὶ πρὸς
ὃν ἡ μεγέθους τελειότης, τὸ γὰρ πῦρ διὰ τὸ ἄψυχον εἶναι ἐπ' ἄπειρον
αὐξητὸν τίθεται. τούτων οὕτως ἐχόντων ῥᾳδίως ἔχομεν ἀπαντῆσαι τοῖς
ἀντιφερομένοις λόγοις, φανερὸν γὰρ πρῶτον οἵαν δεῖ ἐναντίωσιν ἐν τῷ
ποσῷ τίθεσθαι. καὶ γὰρ ἔστι μὲν ἡ κίνησις εἰς τὰ ἐναντία μεταβολή,
ἐναντία δὲ εἰς κίνησιν ἀναγκαῖα εἰσὶν ὅσα δύναται ἀλλήλοις ἀντικεῖ-
σθαι ὡς ὅροι, κἂν ὦσι τῶν πρός τι, ἀλλ' οὐχ ᾗ πρός τι ἀντίκεινται, ἀλλ'
ᾗ τοιαύτην ἔχοντα φύσιν, ὡς γάρ φησιν ὁ Ἀλέξανδρος οὐ λέγεται κατὰ
τὸ πρός τι, κίνησις εἶναι, ὅτι μὴ γίγνεται κατὰ ταύτην τὴν σχέσιν με-
ταβολὴ κινήσεως τῷ μεταβάλλοντι κατὰ σχέσιν, ᾗ δὲ τὸ πρός τι, οἷον τὸ
δεξιὸν καὶ ἀριστερὸν οὐ τοιοῦτον, ἀλλὰ τόπου εἰσὶ διαφοραί, καὶ μάλιστα
ἐν τούτοις ἐνδέχεται γίνεσθαι κίνησις, οὕτως οὖν ἐπὶ τῆς αὐξήσεως τὸ τέ-
λειον καὶ ἀτελὲς οὐχ ᾗ πρός τι, ἀλλ' ᾗ προσήκουσι τῇ φύσει τοῦ ζῶντος
ὅροι εἰσὶ τῶν αὐξανόντων, καὶ φθινόντων, καίπερ ἐντεῦθεν ἀπορήσειεν
αὖτις εἰκότως, ὅτι τῆς αὐξήσεως οὐκ ἦν ὅρος τὸ ποσὸν ᾗ ποσόν, ἀλλ'
ᾗ ζῶντος μέγεθος. δεῖ τοίνυν εἰδέναι, ὅτι κοινότερον λαμβανομένη ἡ
αὔξησις ὅρον ἔχει τὸ ποσὸν ἁπλῶς, κυρίως δὲ καθὸ τοῖς ζῶσι προ-
σήκει ὅρον ἔχει τὸ τοσονδὶ ποσὸν τὸ κατὰ τὴν ἑκάστους τῶν αὐξανομέ-
νων φύσιν ὡρισμένον. εἰδέ τις ἐνσταίη, ὅτι δοκεῖ ἄρα μὴ εἶναι καθ'
ἑαυτὸ τὴν αὔξησιν εἰς τὸ ποσόν, ἀλλὰ κατὰ συμβεβηκός, ᾗ δηλονότι
ζῶντος ἐστὶ μέγεθος, ἐπιστησάτω δὲ κοινότερον μὲν τὴν αὔξησιν ἁπλῶς
εἰς τὸ ποσὸν εἶναι, ἰδιαίτερον δὲ εἰς τὸ τέλειον. τὸ δὲ τέλειον καὶ τὸ ἀ-
τελὲς κατὰ τὴν φύσιν τῶν ἐν οἷς ἐστι θεωρεῖται, καὶ γὰρ τὸ τοῦ μύρμη-
κος μέγεθος τέλειον μέν ἐστιν ἐν αὐτῷ, ἐν δὲ τοῖς ἄλλοις ἐμψύχοις οὐ
μόνον ἀτελὲς ἀλλὰ καὶ ἀδύνατον. οὐ μὴν γε ἐκ τούτου ἕπεται ὅτι πάντως
ἐστὶ κατὰ συμβεβηκὸς εἰς τὸ ποσὸν ἡ αὔξησις, ἀλλ' ἢ μόνον ὃν τρόπον
φαμὲν τὰ καθόλου γίνεσθαι κατὰ συμβεβηκός, καὶ τὸ ὅλον γιγνόμενον
τῶν μερῶν, καὶ γὰρ οὐκ ἔστι κίνησις εἰς τὸ καθόλου, ἀλλ' εἰς τὸ τόδε
τι, καὶ εἰς τὸ ὡρισμένον, εἴτε οὐσίαν, εἴτε ποσόν, εἴτε ποιόν. ἔστι τοί-
νυν καὶ εἰς τὸ ποσὸν κίνησις, οὐ μὴν γε εἰς τὸ καθόλου. τοῦτο γὰρ οὐ
γίγνεται, ἀλλ' εἰς τὸ προωρισμένον ἑκάστου τῇ φύσει. Ἔτι δὲ ἀποροῦ-

σι

Ε.Υ.Δ της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

σι τινὲς ὅτι τὸ τέλειον καὶ ἀτελὲς ὡς τὰ κατὰ στέρησιν καὶ ἕξιν ἀντίκεινται, τοὺς δὲ τῆς κινήσεως ὅρους ἀπολύτως τε εἶναι δεῖ καὶ ἐναντίους κυρίως. πρόχειρος δὲ πρὸς τὴν ἀπορίαν ἡ λύσις ἐκ τοῦ ἑβδόμου κεφ. τοῦ πρώτου τῶν Φυσικῶν ἀποριῶν τοῦ Ἀφροδισιέως, καὶ γὰρ τὸ μέγα καὶ τὸ μικρὸν καὶ ὅσα καθ᾽ ὑπερβολὴν καὶ ἔλλειψιν ἐναντία λέγεται, καθὸ μὲν εἰσὶ πρὸς ἄλληλα οὐκ ἔστιν ἐναντία, ἀλλ᾽ ἢ τοῦ μέτρου πλέον εἰσί, τὸ μὲν γὰρ μᾶλλον τοιοῦτον, τὸ δὲ ἔλαττον τοῦ συμμέτρου, καθ᾽ ὃν τρόπον οὐκ ἔτι σώζει, τὴν κατὰ τὸ πρός τι σχέσιν οὐδέτερον αὐτῶν, οἷον ἡ ὑπεροχὴ καὶ ἡ ἔνδεια καθὸ μὲν ἀλλήλαις ἐναντίαι λέγονται πρός τι εἰσιν. ἡ γὰρ ὑπεροχὴ ἐνδείας ἐστὶν ὑπεροχή, καὶ ἡ ἔνδεια ὑπεροχῆς ἐστὶν ἔνδεια, καθὸ δὲ ἡ μὲν ὑπεροχὴ ποιαδί τις φύσις, καὶ ἡ ἔνδεια ποιαδὶ οὐ πρός τι, ἀλλ᾽ ἐναντία. τὰ γὰρ ἐναντία καθ᾽ ὅσον μὲν δηλοῖ φύσεις τινὰς πλεῖστον ἀλλήλας διαφερούσας οὐ πρός τι, καθόσον δὲ πρὸς ἄλληλα λέγεται οὐκ ἐναντία, ἀλλὰ πρός τι, οἷον τὸ μέγα καὶ μικρόν, καὶ τέλειον καὶ ἀτελές. ᾗ μὲν πρός τι οὐκ εἰσὶν ἐναντία. ἔστι δὲ τῶν πρός τι ἢ ποσὰ μόνα, ἀμφότερα γὰρ σώζει τὸν τῆς ποσότητος λόγον ἰσοτίμως, διὸ οὐδὲ καθ᾽ ἑαυτὸ ἔστι μέγα ἢ μικρόν, ἀλλὰ πρὸς ἕτερον ἀναφερόμενον ἢ μέγα ἢ σμικρόν, καθόσον δὲ τὸ μέγα καὶ σμικρὸν ποσουδὶ τινος ποσοῦ δηλωτικά εἰσιν ὡρισμένου δηλονότι τῇ τοῦ ἔχοντος φύσει, οὐ πρός τι ἀλλ᾽ ἐναντία, ὅθεν ἐν τῷ ἀνθρώπῳ καθ᾽ ἑαυτό ἐστι τὸ μέγα καὶ μικρόν, ἀεὶ γὰρ τὸ βρέφος μικρὸν φαμέν, καὶ τὸν ἄνδρα μέγαν, οὐ τὸ μέγα πρὸς τὸ μικρὸν ἀναφέροντες, ἀλλὰ ταῦτα ἀπολύτως θεωροῦντες ὡς ὅρους τῆς τούτου κατὰ μέγεθος μεταβολῆς. κατὰ δὲ τοῦτον τὸν τρόπον τὸ τέλειον καὶ ἀτελὲς εἴδει διαφέρουσι, καὶ ὁρισμῷ, καὶ τὸ ἀτελὲς στέρησις λέγεται καθ᾽ ὅσον μόνον τὸ τῆς συστοιχείας θάτερον μέρος στέρησις λέγεται, θάτερον δὲ ἕξις.

## Πότερον ἡ αὔξησις γένεσίς ἐστιν ἢ οὔ;

ΔΟκεῖ δὲ γένεσιν εἶναι τὴν αὔξησιν. πρῶτον μὲν γὰρ αὔξησίς ἐστιν οὗ ἀναιρουμένου συναναιρεῖται ἡ αὔξησις, καὶ τίθεται τιθεμένου, ἀλλὰ διδομένης τοῦ μείζονος μέρους γενέσεως ἐξ ἀνάγκης καὶ αὔξησις δίδοται, καὶ ἀναιρουμένης συναναιρεῖται. γένεσις ἄρα τοῦ μείζονος μεγέθους ἡ αὔξησις. Δεύτερον γένεσίς ἐστι πᾶσα μεταβολὴ ἧς προηγεῖται φθορά, ἀλλὰ μὴν πάσης αὐξήσεως ὡς ἔοικεν ἡγεῖται φθορά, ἄρα γένεσίς ἐστιν ἡ αὔξησις. Τρίτον πᾶσα μεταβολὴ ἀπὸ τοῦ κυρίως ἐν αὐτῇ ὄντος ὀνομάζεσθαι πέφυκεν. Ἔστι δὲ ἡ αὔξησις ἀναγκαῖον μάλιστα
ἡ ἐκ τοῦ ἀνομοίως εἰς ὅμοιον μεταβολή, ἥτις ἐστὶ γένεσις, ὀρθῶς ἄρα

τις γένεσιν ὀνομάσει τὴν αὔξησιν. Τέταρτον τὸ γιγνόμενον ἕως οὗ τὴν προσήκουσαν αὐτῷ τελειότητα ἐπιλήψεται γίγνεσθαί φαμεν. ἀλλὰ μὴν τὸ αὐξανόμενον τὴν τελειότητα τῆς αὐτοῦ φύσεως ἐπικτᾶται. γίγνεται ἄρα, ὥστε γένεσις ἐστὶν ἡ αὔξησις. τούτων οὖν ἕνεκα τινὲς μὲν γένεσιν ἁπλῶς ᾠήθησαν τὴν αὔξησιν, τοιαύτην γάρ φασιν εἶναι τὴν τῆς τροφῆς μεταβολὴν, καθ᾽ ἣν ἡ αὔξησις γίνεται, διαφέρειν δὲ ὑπομιμνήσκουσι τὴν ἁπλῆν γένεσιν τῆς αὐξήσεως, ὅτι ἡ αὔξησις γίγνεται μὴ χωρὶς μεταβαλλούσης τῆς τροφῆς, ἀλλὰ προσγινομένης, ἕτεροι δὲ τὴν αὔξησιν πλείους φασὶ κινήσεις. ἔστι γὰρ ἡ αὔξησις ἀλλοίωσις πρῶτον τοῦ ἀνομοίου, εἶτα μεταβολὴ εἰς τὸ ὅμοιον, ἅμα δὲ καὶ κατὰ τόπον ἐπίδοσις, τούτοις οὖν ὀρθῶς ἀντίκεινται ὅσοι τὴν αὔξησιν εἰδικῶς θεωρουμένην, οὔτε γένεσιν εἶναι, οὔτε ἀλλοίωσιν, οὔτε κατὰ τόπον μεταβολὴν ὁμολογοῦσιν, ἀλλὰ κίνησιν εἰς τὸ τέλειον ποσὸν, εἰ καὶ τῆς αὐξήσεως ἡγεῖται μὲν ἀλλοίωσις, καὶ κατ᾽ οὐσίαν μεταβολὴ, συνέπεται δὲ καὶ κατὰ τόπον κίνησις, οὐκ ἀρκεῖ γάρ φασιν εἰς αὔξησιν ἡ τῆς τροφῆς μεταβολὴ, ἀλλὰ ζητεῖται ἐξ ἀνάγκης ἡ πλείονος μεγέθους προσθήκη. Εἰς ἐπίλυσιν μὲν οὖν τῆς ἀπορίας ταύτης κείσθω πρῶτον, ὅτι αὔξησις ἐστὶν ἡ εἰς τὸ τέλειον μέγεθος κίνησις, ἡ δὲ εἰς ἀτελὲς φθίσις, καὶ γὰρ εἰδέναι δεῖ ὅτι ἐν τῇ αὐξήσει πολλαὶ κινήσεις ὁμοῦ γίγνονται. πρῶτον γὰρ τὸ ζῶον τὴν προστιθεμένην αὐτῷ τροφὴν ἀλλοιοῖ, καὶ διατίθησιν εἰς τὴν οἰκείαν αὐτοῦ φύσιν, μεταβαλοῦσα δὲ ἡ τροφὴ ἀποβάλλει τὸ οἰκεῖον εἶδος, καὶ ἐξομοιοῦται τῷ τρεφομένῳ κατὰ τὸ εἶδος, αὗται οὖν αἱ κινήσεις σαφῶς εἰσι φθορὰ καὶ γένεσις, ἡ δὲ τῆς τροφῆς ἐξομοίωσις γίγνεται ἐν αὐτῇ μὴ κεχωρισμένῃ, ἀλλ᾽ ἐνουμένῃ τῷ σώματι τοῦ ζῶντος, ὥστε προσιέναι τῷ ζῶντι μέρος οὐσίας ὑλικῆς. τῇ προσθήκῃ δὲ ταύτῃ φανερὸν ὅτι παρομαρτεῖ ποσότητος ἐπίδοσις, ἣν μὴ πλεῖον ἢ τὸ ἀπορρέον τοῦ προσελθόντος. ἔστι τοίνυν αὔξησις οὐχ ἡ ἀλλοίωσις τῆς τροφῆς, οὐδὲ ἡ μεταβολὴ εἰς τὴν τοῦ τρεφομένου οὐσίαν, οὐδὲ ἡ ταύτης ἕνωσις κατὰ τὰ οὐσιώδη μέρη, ἀλλὰ ποσότης καθόσον προστίθεται τῷ τρεφομένῳ, ὥστε γενέσθαι μεῖζον ἤπερ ἦν. τῇ δὲ προσθέσει τοῦ ποσοῦ παρέπεται ἡ κατὰ πλείονα τόπον μεταβολή. ἐξ ὧν φανερόν ἐστιν ὅτι ἡ μὲν ἀλλοίωσις χρόνῳ προηγεῖται, αἱ δὲ λοιπαὶ κινήσεις ὁμοῦ μὲν γίγνονται, λόγῳ δὲ μάλιστα διαφέρουσιν. ὅθεν οὐδεῖ τὰς κινήσεις ταύτας συγχέαι διὰ τὸ γίνεσθαι ἅμα, ἀλλὰ τὴν φύσιν ἑκάστου θηρεύσαντας τὴν τούτων διάκρισιν ἐκ τῶν οἰκείων ἀρχῶν πορίσασθαι. διαφέρουσι γὰρ πλείοσι γένεσις καὶ αὔξησις, ἡ μὲν γὰρ γένεσις εἰς οὐσίαν ἐστὶν, ἡ δὲ αὔξησις εἰς τὸ ποσόν. ὥσπερ οὖν τῆς οὐσίας τὸ ποσὸν γένει διενήνοχεν, οὕτω καὶ τῆς γενέσεως ἡ αὔξησις, μάλιστα ἡ αὔξησις μέν ἐστιν αὐτὸ τὸ ποσὸν γινόμενον, ὥσπερ γένεσις αὐτὴ ἡ οὐσία, ἡ



ΙΩΑΝΝΙΝΑ 2006

γὰρ κίνησις τοῦ πρὸς ὃν ὅρου κατὰ τελειότητα καὶ ἀτέλειαν διαφέρει. Δεύτερον ὅτι τὸ τῆς γενέσεως ὑποκείμενον δυνάμει ἐστὶν ὄν, τὸ δὲ τῆς αὐξήσεως ἐντελεχείᾳ. Τρίτον ἡ μὲν αὔξησις κυρίως ἐστὶ κίνησις, ἡ δὲ γένεσις οὐδαμῶς. Τέταρτον ὅτι οὐδέν ἐστιν αὐτὸ ἑαυτὸ γεννῶν, τὸ δὲ αὖξον αὐτὸ ἑαυτὸ αὔξει, καὶ τελειοῖ κατὰ μέγεθος. Πέμπτον ὅτι τὸ γενόμενον μὲν οὐκ ἐξ ἀνάγκης μεταβάλλει κατὰ τόπον, τὸ δὲ αὖξον ἐξ ἀνάγκης ὥσπερ τὸ ἐλαυνόμενον. Ἕκτον ὅτι ἡ μὲν κυρίως γένεσις πᾶσι τοῖς ὑπὸ σελήνην ἐφαρμόζει, ἡ δὲ κυρίως αὔξησις τοῖς ἐμψύχοις μόνον. Ἕβδομον ὅτι τῇ μὲν αὐξήσει ἀνάγκη προσιέναι ὕλην τινὰ ἔξωθεν, τῇ δὲ γενέσει ἀρκεῖ ἡ ἐνυπάρχουσα ὕλη. τοιγάρτοι τοσούτοις γενέσεως καὶ αὐξήσεως διαφερουσῶν, οὐκ εἰκός ἐστι ταῦτα συμφύρειν, καὶ εἰς ἓν συνάγειν. μάλιστα δὲ οὐδεμίαν ἰσχὺν ἐχόντων τῶν ἀντικειμένων λόγων. καὶ πρὸς μὲν τὸ πρῶτον ἀποφάσκομεν τὴν μείζονα. ταύτης γὰρ ὁμολογουμένης καὶ τὸν υἱὸν εἶναι πατέρα δοθήσεται. τοῦ πατρὸς γὰρ τιθεμένου καὶ ὁ υἱὸς ὑπάρχει, καὶ ἀναιρουμένου συναναιρεῖται, καὶ οὐ μόνον ἐπὶ τῶν πρός τι, ἀλλὰ καὶ ἐπὶ πολλῶν σαφῶς ἄτοπος ἐστὶν ἡ ῥηθεῖσα πρότασις. λάμποντος γὰρ τοῦ φωτὸς ἡ ὅρασις γίγνεται, καὶ παύεται ἀποχωροῦντος, οὐ μὴν φῶς εἶναι τὴν ὅρασιν ἐρεῖ τις τῶν εὖ φρονούντων. πρὸς δὲ τὸ δεύτερον αὔξησιν φαμὲν τὴν εἰς μείζονα οὐσίαν ἐπίδοσιν, οὐ μὴν ᾗ οὐσίαν, ἀλλ' ᾗ μείζω. ὁμοίως δὲ καὶ πρὸς τὸ τρίτον, εἰ καὶ δοίημεν τῶν εἰς αὔξησιν ἀναγκαίων κυριώτερον εἶναι τὴν ἐκ τοῦ ἀνομοίου εἰς τὸ ὅμοιον μεταβολήν, οὐ μήν γε ταύτην εἴποι τις αὔξησιν. ἡ γὰρ αὔξησις εἰς τὸ ποσόν ἐστι κίνησις, ἡ δὲ εἰς τὸ ὅμοιον ἐκ τοῦ ἐναντίου μεταβολὴ γένεσις οὐσίας ὀνομάζεται, καὶ ἐστί. τίσι δὲ διαφέρει γένεσις καὶ αὔξησις ἔφθην εἰπών. πρὸς δὲ τὸ τελευταῖον εἰδέναι δεῖ, ὅτι εἰ καὶ μὴ ἀχώριστος τῆς γενέσεως ἡ αὔξησις, ἐπειδὴ γὰρ ἀνάγκη τὸ αὖξον μεταβαλεῖν, ὀρθῶς εἴρηται πάσης αὐξήσεως ἡγεῖσθαι γένεσίν τινα, ἀλλ' ὅμως οὐκ ἂν εἴποι τις ἐντεῦθεν γένεσιν εἶναι τὴν αὔξησιν, ἀλλ' ὅτι τὸ αὐξανόμενον ἀεὶ κατά τι γίνεται, ὅθεν οἷον ἐν τῷ ἀνθρώπῳ αὐξανομένῳ γίνεσθαί φαμεν αὐτοῦ τινα μέρη τῶν ὁμοιομερῶν, οὐ μήν γε τὴν τῶν μερῶν τούτων γένεσιν αὔξησίν φαμεν, ἀλλ' ᾗ διὰ τῆς γενέσεως αὐτῶν εἰς μεῖζον μέγεθος ἐπιδέδωκε τὸ ηὐξημένον.



Ε.Υ. Κ.Τ.Π. ΙΩΑΝΝΙΝΑ 2006